## Περὶ γονέων.

Ὁ μὲν οὖν προηγούμενος τόπος τῆς κατ' εἶδος ἐπισκέψεως οὗ διὰ παντὸς ἔχεσθαι προσήκει τοιοῦτον ἔχει τὸν τρόπον. ἀρξώμεθα δὴ κατὰ τὴν ἐκκειμένην τάξιν ἀπὸ πρώτου τοῦ περὶ γονέων λόγου. ὁ μὲν τοίνυν ☉ καὶ ὁ τοῦ ♄ ἀστὴρ, τῷ πατρικῷ προσώπῳ συνοικειοῦνται κατὰ φύσιν. ἡ δὲ ☽ καὶ ὁ τῆς ♀ τῷ μητρικῷ. καὶ ὅπως ἂν οὗτοι διακείμενοι τυγχάνωσι πρός τε ἀλλήλους καὶ πρὸς τοὺς ἄλλους, τοιαῦτα δεῖ καὶ τὰ περὶ τοὺς γονέας ὑπονοεῖν. τὰ μὲν γὰρ περὶ τῆς τύχης καὶ τῆς κτήσεως αὐτοῦ ἐπισκεπτέον ἐκ τῆς δορυφορίας τῶν φώτων. ἐπειδήπερ περιεχόμενοι μὲν ὑπὸ τῶν ἀγαθοποιεῖν δυναμένων καὶ τῶν τῆς αὐτῆς αἱρέσεως, ἤτοι ἐν τοῖς αὐτοῖς ζωδίοις ἢ καὶ ἐν τοῖς ἑξῆς, ἐπιφανῆ καὶ λαμπρὰ τὰ περὶ τοὺς γονέας διασημαίνουσι, καὶ μάλιστα ὅταν τὸν μὲν ☉ ἑῷοι δορυφορῶσιν οἱ ἀστέρες, τὴν δὲ σελήνην ἑσπέριοι, καλῶς καὶ αὐτοὶ διακείμενοι. ἐὰν δὲ ὁ τοῦ ♄ καὶ ὁ τῆς ♀ καὶ αὐτοὶ τυγχάνωσιν ἀνατολικοί τε καὶ ἰδιοπροσωποῦντες ἢ ἐπίκεντροι, εὐδαιμονίαν πρόδηλον ὑπονοητέον κατὰ τὸ οἰκεῖον ἑκατέρου τῶν γονέων. τὸ δὲ ἐναντίον ἐὰν μὲν κενοδρομοῦντα ᾖ τὰ φῶτα καὶ ἀδορυφόρητα τυγχάνοντα, ταπεινότητος καὶ ἀδοξίας τῶν γονέων ἐστὶ δηλωτικά, καὶ μάλιστα ὅταν ὁ τῆς ♀ ἢ καὶ ὁ τοῦ ♄ μὴ καλῶς φαίνωνται διακείμενοι. ἐὰν δὲ δορυφορῆται μὲν, μὴ μέντοι ὑπὸ τῶν τῆς αὐτῆς αἱρέσεως, ὡς ὅταν ♂ μὲν ἐπαναφέρηται τῷ ☉. ♄ δὲ τῇ ☽. ἢ μὴ ὑπὸ καλῶς κειμένων τῶν ἀγαθοποιῶν καὶ κατὰ τὴν αἵρεσιν, μετριότητα καὶ ἀνωμαλίαν περὶ τὸν βίον αὐτῶν ὑπονοητέον. κἂν μὲν σύμφωνος ᾖ ὁ διασημανθησόμενος τῆς τύχης κλῆρος ἐν τῇ γενέσει, τοῖς τὸν ☉ ἢ τὴν ♀ ἐπὶ καλῷ δορυφορήσασι, παραλήψονται σῶα τὰ τῶν γονέων, ἐὰν δὲ ἀσύμφωνος ἢ ἐναντίος, καὶ μηδενὸς ἢ τῶν κακοποιῶν εἰληφότων τὴν δορυφορίαν, ἄχρηστος αὐτοῖς καὶ ἐπιβλαβὴς ἡ τῶν γονέων ἔσται κτῆσις. περὶ δὲ πολυχρονιότητος αὐτῶν σκεπτέον ἀπὸ τῶν ἄλλων σχηματισμῶν. ἐπὶ γὰρ τοῦ πατρὸς ἐὰν ὁ τοῦ ♃ ἢ ὁ τῆς ♀ συσχηματισθῶσιν ὁπωσδήποτε τῷ ☉, ἢ τῷ τοῦ ♄. ἢ καὶ αὐτὸς ὁ τοῦ ♄ σύμφωνον ἔχῃ σχηματισμὸν πρὸς τὸν ☉, ἤτοι συνὼν ἢ ἑξαγωνίζων ἢ τετραγωνίζων, ἐν δυνάμει μὲν ὄντων αὐτῶν, πολυχρονιότητα τοῦ πατρὸς καταστοχαστέον, ἀδυναμούντων δὲ οὐχ ὁμοίως, οὐ μέντοι γε οὐδὲ ὀλιγοχρονιότητα. ὅταν δὲ τοῦτο μὲν μὴ ὑπάρχῃ, ὁ δὲ τοῦ ♂ καθυπερ-

περήσῃ